# Mc. 14, 27 – 31. La profezia del rinnegamento di Pietro

Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς ὅτι Πάντες σκανδα-
λισθήσεσθε, ὅτι γέγραπται,
Πατάξω τὸν ποιμένα,
καὶ τὰ πρόβατα διασκορπισθήσονται·
ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν
Γαλιλαίαν.
ὁ δὲ Πέτρος ἔφη αὐτῷ, Εἰ καὶ πάντες
σκανδαλισθήσονται, ἀλλ' οὐκ ἐγώ.
καὶ λέγει αὐτῷ
ὁ Ἰησοῦς, Ἀμὴν λέγω σοι ὅτι σὺ σήμερον ταύτῃ τῇ
νυκτὶ πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι τρίς με ἀπαρνήσῃ.
ὁ δὲ ἐκπερισσῶς ἐλάλει, Ἐὰν δέῃ με συναποθανεῖν σοι,
οὐ μή σε ἀπαρνήσομαι. ὡσαύτως δὲ καὶ πάντες ἔλεγον.